*γεῖν τε ἅμα τὸν λόγον ⟨καὶ πάσχειν τὸ ζῷον⟩ καὶ εἶναι τὰ πάθη περὶ τὸ συναμφότερον. φαίνεται γὰρ οὐχ ἅμα ταῦτα γινόμενα ἄμφω, ⟨ἀλλὰ⟩ μεινάσης μὲν ἀργῆς τῆς διανοίας ἐπεισελθόντα τὰ πάθη περὶ τὸ συναμφότερον, ⟨ἐγ⟩γενομένων δὲ τῶν παθῶν παρελθὼν αὖθις ὁ λόγος καὶ διακοσμήσας αὐτά. τίς οὖν ἡ καλουμένη παθητικὴ ψυχή; ἡ αὐτὴ ἥπερ καὶ ⟨ἡ⟩ λογιστική. πάθος γάρ τι αὐτῆς τὸ μὴ ἀπαύστως ἐνεργεῖν, καὶ παθητικὴ ὅτι θεωρεῖν ἀεί τε καὶ συνεχῶς ἀδύνατος. ὅταν οὖν μὴ θεωρῇ, πρὸς τὸ σῶμα ἐπέστραπται καὶ ἀπόστροφός ἐστι ⟨τοῦ νοῦ⟩· τοῦ νοῦ δ᾿ οὖσα ἀπόστροφος ἀνοηταίνειν εἰκότως λέγοιτ᾿ ἂν καὶ οὐθὲν ὑγιὲς βλέπειν οὐδὲ κρίνειν ὀρθῶς, ἀλλὰ δοξάζειν τά τε μὴ ἀγαθὰ ⟨ὡς ὄντα ἀγαθὰ⟩ καὶ τοὐναντίον, ἐκ δὲ τῆς τοιαύτης δόξης καὶ κρίσεως ἀποτελεῖσθαι τὰ πάθη περὶ τὸ σύνθετον, σύνθετον δ᾿ ἔκ τε τοῦ σώματος καὶ τῆς ἐν αὐτῷ ζωῆς, ἣν ἐνδίδωσιν ἡ ψυχή. ἐνδίδωσι γὰρ ἅπασα δύναμίς τινα ἀφ᾿ αὑτῆς ἀπόρροιαν τῷ ****